Σχόλια. Τὰ μὲν ἱερ' ἡμῖν.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκειμένων. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ὀ. ὧν τελευταῖος. Τόξευε πᾶς τις. σφενδονήτης μοι δότω. ἐπὶ τῷ τέλει κορωνίς. Αλλ' οὑτοσὶ τρέχει] Σύμμαχος. οὕτω συντόνως τρέχει, ὡσεὶ ὀλυμπιακὸς

A σταδιοδρόμος ἢ ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. ἀντὶ τοῦ δίκην ῥεύματος ταχέως φερόμενος. ὁ δὲ Δίδυμος παρὰ τὸ Πινδάρου. ἄμπνευμα σεμνὸν ἀλφειοῦ. διχῶς δέ τινες ἀλφειὸν πνέων.

Ωσθ' ὑπεράνω μὲν Προξενίδης ὁ Κομπασεὺς,
Καὶ Θεαγένης. ἐναντίω δύ' ἅρματε,
Ιππων ὑπόντων μέγεθος ὅσον ὁ Δούρειος.
Υπὸ τοῦ πλάτους ἂν παρελασαίτην. Πει. Ηράκλεις.
Αγγ. τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὐτ' ἐγὼ,
Εκατοντόργυιον. Πει. ὦ Πόσειδον τοῦ μάκρους.
Τίνες ᾠκοδόμησαν αὐτὸ τηλικουτονί;
Αγγ. Ορνιθες. οὐδεὶς ἄλλος. οὐκ Αἰγύπτιος
Πλινθοφόρος. οὐ λιθουργός. οὐ τέκτων παρῆν:
Αλλ' αὐτόχειρες. ὥστε θαυμάζειν ἐμέ.
Εκ μέν γε Λιβύης ἧκον ὡς τρισμύριαι
Γέρανοι, θεμελίους καταπεπωκυῖαι λίθους.
Τούτους δ' ἐτύκιζον αἱ κρέκες τοῖς ῥύγχεσιν.
Ετεροι δ' ἐπλινθοφόρουν πελαργοὶ μυρίοι.
Υδωρ δ' ἐφόρουν κάτωθεν ἐς τὸν ἀέρα
Οἱ χαραδριοὶ, καὶ τἄλλα ποτάμι' ὄρνεα.
Πει. Επηλοφόρουν δ' αὐτοῖσι τίνες; Αγγ. Ερωδιοὶ
Λεκάναισι. Πει. τὸν δὲ πηλὸν ἐνεβάλλοντο πῶς;
Αγγ. Τοῦτ' ὦ 'γάθ' ἐξεύρητο καὶ σοφώτατα.
Οἱ χῆνες ὑποτύπτοντες ὥσπερ ταῖς ἄμαις
Ες τὰς λεκάνας ἐνέβαλλον αὐτοῖν τοῖν ποδοῖν.
Πει. Τί δῆτα πόδες ἂν οὐκ ἂν ἐργασαίατο;
Αγγ. Καὶ νὴ Δί' αἱ νῆτταί γε περιεζωσμέναι,
Επλινθοφόρουν. ἄνω δὲ τὸν ὑπαγωγέα
Επέτοντ' ἔχουσαι κατόπιν ὥσπερ παιδία.
Τὸν πηλὸν ἐν τοῖς στόμασιν αἱ χελιδόνες.
Πει. Τί δῆτα μισθωτοὺς ἂν ἔτι μισθοῖτό τις;
Φέρ' ἴδω. τί δαί; τὰ ξύλινα τοῦ τείχους, τίνες
Απειργάσαντ'. Αγγ. ὄρνιθες ἦσαν τέκτονες.

*Vt desuper quidem* Proxenides *ille superbus,*
*Et Theagenes è contrario duos currus*
B *Equorum subexistentibus magnitudine quanta equus Troianus*
*In latitudine agitauit.* PI. *Hercules.*
*NV. Hæc autem longitudo est (etenim mensuraui ipsam ego)*
*Centum passuum.* PI. *O Neptune longitudinem,*
*Qui ædificauerunt ipsum tantum?*
*NV. Aues, nullus alius, non Ægyptius*
*Lateriger, non petrarum factor, non faber affuit,*
*Sed propriæ manus, ad admirari me.*
C *Ex quidem Libya venerunt ferè ter mille*
*Grues, fundamentales deuorantes lapides:*
*Hos autem polierunt ibides rostris,*
*Alij autem lapides ferebant pelargi mille.*
*Aquam autem ferebant inferi in aerem,*
*Charadrij, & aliæ fluuiales aues.*
PI. *Lutum autem ferebant ipsis qui? NVN. Erodij*
D *Peluibus.* PI. *Hoc autem lutum iniecerunt quomodo?*
*NVN. Hoc ô bone inuentum est, & sapientissime,*
*Anseres subuolantes tanquam sarculis,*
*In peluès iniecerunt ipsis pedibus.*
PI. *Quid certè pedes non operabuntur?*
*NV. Et per Iouem anates circuncinctæ,*
E *Lateres ferebant, supra autem rastrum*
*Volabant, habentes à tergo tanquam pueros,*
*Lutum in oribus hirundines.*
PI. *Quid certè mercenarios item conduxit quis?*
*Age videam. quid autem? lignea muri qui*
*Operati sunt. NV. Aues erant fabri*

Σχόλια. Προξενίδης καὶ Θεαγένης.] ἐκ τούτων πιστοῦται τὸ ἀνυπόστατον τοῦ τείχους. ἐπεὶ καπνοὶ ἦσαν καὶ κομπασταί. καὶ μόνον ὑπόσχεσις. τοιαύτη δὲ καὶ ἡ τοῦ τείχους οἰκοδομή. F Ο Κομπασεύς.] ἔπαιξε παρὰ τὸν κόμπον. προείρηται δὲ περὶ αὐτῶν ἀμφοτέρων ὅτι κομπασταί. Τηλεκλείδης δὲ ἐν Ησιόδῳ, ὡς παρειμένον τῷ σώματι κωμῳδεῖ αὐτόν. Οσον ὁ Δούρειος.] οὐ πιθανὸν κοινῶς λέγειν αὐτόν. ἀλλὰ περὶ τοῦ χαλκοῦ τοῦ ἐν ἀκροπόλει. ἀνέκειτο γὰρ ἐν ἀκροπόλει δούρειος ἵππος ἐπίγραφον ἔχων. Χαιρέδημος εὐαγγέλου ἐκ κοίλης ἀνέθηκε. G διωάσεται δὲ ὁ ἐν Ιλίῳ λαμβάνεσθαι. ἐν ἀκροπόλει δὲ χαλκοῦς ἵππος ἀνέκειτο κατὰ μίμησιν τοῦ Ιλιακοῦ.

Bisetvs. Περὶ τοῦ δὲ τοῦ Δουρείου ἵππου Εὐριπίδης ἐν Τρῳάσι ταῦτα παραδέδωκε,

Φωκεὺς Επειὸς μηχαναῖσι Παλλάδος
Εγκύμον' ἵππον τευχέων ξυναρμόσας
Πύργων ἔπεμψεν ἐντὸς ὀλέθριον βάρος.
Οθεν πρὸς ἀνδρῶν ὕστερον κληθήσεται
Δούρειος ἵππος, κρυπτῶν ἀμπισχὼν δόρυ.

Σχόλια. Τοῦ μάκρους.] σημειωτέον ὅτι τὸ μάκρος λέγει.

Bisetvs. Τὸ μάκρος, ἀντὶ τοῦ μῆκος, ἀρχαιότερον.

Σχόλια. Αἰγύπτιος πλινθοφόρος.] οἱ Αἰγύπτιοι ἐκωμῳδοῦντο ὡς ἀχθοφόροι. καὶ ἐν Βατράχοις. οὓς οὐκ ἂν ἄραιντ' ἂν οὐδ' ἑκατὸν Αἰγύπτιοι. εἰς τὸ αὐτό. ὅτι ἴδιον Αἰγυπτίων τὸ ἀχθοφορεῖν. Γέρανοι θεμελίους] διὰ τὸ ἐν ὕψει πέτεσθαι. καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαστάζουσιν. ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν, καὶ αἴσθοιντο πότερον ἐπὶ γῆς ἢ ἐπὶ θαλάσσης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάσσης ἤκοι ὁ λίθος, ἀνύουσι τὴν ὁδόν. εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. Καταπεπωκυῖαι λίθους.] ἐπεὶ αἱ γέρανοι λίθους καταπίνουσι καὶ ἐπὶ τὴν Αἴγυπτον παραγίνονται. Τούτους δ' ἐτύκιζον.] τύκος ἐργαλεῖόν τι ᾧ τοὺς λίθους περιτύκουσι καὶ ξέουσιν. ἐπιτήδειον δὲ ἔργον τοῦ μακρὸν ἐχούσαις ῥύγχος. κρὲξ δὲ εἶδος